⟨Γε.⟩ κράτιστον, εἴπερ ἐστὶ παντελῶς σαπρόν.
(Cιμ.) τὸν Δᾶον ἐκ τῶν γειτόνων ἐγὼ καλῶ;
(Κν.) Δᾶον καλεῖς, ἀνόςι', ἀνῃρηκυῖά [με;
οὔ σοι λέγω; θᾶττον βάδιζ' εἴςω. [τάλας
ἐγώ, τάλας τῆς νῦν ἐρημίας [
ὡς οὐδὲ εἷς. καταβήςομ' εἰ[ς τὸ φρέαρ· τί γὰρ
ἔτ' ἔςτιν ἄλλο;
(Γε.) ἡμεῖς ποριοῦ[μεν ἁρπάγην
καὶ ςχοινίον.
(Κν.) κακὸν κάκ[ιςτά ς' οἱ θεοὶ
ἅπαντες ἀπολέςειαν εἴ τι μ[οι λαλεῖς.
(Γε.) καὶ μάλα δικ[αίως. εἰς]πεπήδηκεν πάλιν.
ὦ τριςκακοδα[ίμων οὗ]τος· οἷον ζῆι βίον.
τοῦτ' ἐςτὶν εἰλικρ[ινὴς] γεωργὸς Ἀττικός·
πέτραις μαχόμενος θύμα φερούςαις καὶ ςφάκον
ὀδύνας ἐπιςπᾶτ' οὐδὲν ἀγαθὸν λαμβάνων.
ἀλλ' ὁ τρόφιμος γὰρ οὑτοςὶ προςέρχεται
ἄγων μεθ' αὑτοῦ τοὺς ἐπικλήτους· ἐργάται
ἐκ τοῦ τόπου τινές εἰςιν. ὢ τῆς ἀτοπίας.
οὗτος τί τούτους δεῦρ' ἄγει νῦν; ἢ πόθεν
γεγονὼς ςυνήθης;
Cω. οὐκ ἂν ἐπιτρέψαιμί σοι
ἄλλως ποῆςαι. πάντ' ἔχομεν. ὦ Ἡράκλεις,
τουτὶ δ' ἀπαρνεῖταί τις ἀνθρώπων ὅλως,
ἐλθεῖν ἐπ' ἄριςτον ςυνήθους τεθυκότος;